ἀπορραγέν. τοῦτο τὸ θαῦμα ἐν ταῖς χερσὶ Σιλβανοῦ γενόμενον, πάντας τοὺς κατὰ
τὴν ἐπαρχίαν εἰς εὐλάβειαν ἤγειρεν· ἦν δὲ Σιλβανὸς καὶ τὰ ἄλλα ἀνὴρ ἀγαθός·
καὶ ἰδὼν τοὺς κληρικοὺς ἐμπορίαν ποιουμένους τὰς τῶν δικαζομένων ἐ-
ρεσχελίας, οὐδένα τῶν τοῦ κλήρου δικαστὴν ἐδίδου ποτέ· ἀλλὰ τὰ βιβλία τῶν
δεομένων δεχόμενος, παρεκάλει τινὰ τῶν λαϊκῶν ὃν ᾔδει φίλον ὄντα τοῦ δικαίου
καὶ ἐκείνῳ ἐγχειρίσας τὴν ἀκρόασιν, τοὺς δικαζομένους τῆς ἐρεσχελίας
ἀπήλλαττεν· καὶ διὰ ταῦτα τοίνυν μεγίστην εὔκλειαν παρὰ πᾶσιν ἐκέκτητο.
τὰ μὲν οὖν περὶ Σιλβανοῦ εἰ ἐν ὀλίγῳ παρεσκευάσει εἴρηται· ἄλλου δὲ καὶ χρεῖος
ἡγοῦμαι μνήμην αὐτῶν γενομένην· ἐπανέλθωμεν δὲ ὅθεν ἐξέβημεν·
Μαξιμιανοῦ τοίνυν προχειρισθέντος εἰς τὴν ἐπισκοπήν, ἐν ὑπατείας
καὶ Ἀντιόχου περὶ τὴν εἰκάδα πέμπτην τοῦ Ὀκτωβρίου μηνός, τὰ τῶν ἐ-
λζ κκλησιῶν ηὐτύχει πράγματα: περὶ τῶν ἐν Κρήτῃ Ἰουδαίων ἐκχριστιανισθέντων πολλῶν.

Περὶ δὲ τὸν χρόνον τοῦτον, πολλοὶ τῶν ἐν Κρήτῃ Ἰουδαίων ἐχριστιάνισαν διὰ
πάθος τοιόνδε· ἀπατεών τις Ἰουδαῖος ὑπεκρίνατο εἶναι Μωϋσῆς· πε-
πέμφθαι δὲ ἔλεγεν ἐκ τοῦ οὐρανοῦ, ὅπως ἂν τοὺς τὴν νῆσον οἰκοῦντας Ἰουδαίους
ἐκ μέσου διὰ τῆς θαλάσσης ἀγάγοι· αὐτὸς γὰρ εἶναι ἔλεγεν ὁ καὶ τὸν Ἰσραὴλ πάλαι
διὰ τῆς Ἐρυθρᾶς σώσας θαλάσσης· ἐφ' ὅλον οὖν ἐνιαυτὸν περιῄει καθ' ἑ-
κάστην τῆς νήσου πόλιν, καὶ τοὺς ἐν αὐταῖς οἰκοῦντας Ἰουδαίους, τὰ τοιαῦτα
πιστεύειν ἀνέπειθε· παρῄνει τε πάντα τά τε χρήματα καὶ τὰ κτήματα καταλιπεῖν·
ἄξειν γὰρ αὐτοὺς διὰ ξηρᾶς τῆς θαλάσσης εἰς τὴν γῆν τῆς ἐπαγγελίας ὑπισχνεῖτο·
οἱ δὲ ταῖς τοιαύταις ἐλπίσι βουκολούμενοι, παντὸς μὲν τῶν ἔργων ἠμέλουν· καὶ
κατεφρόνουν δὲ ὧν ἐκέκτηντο· τοῖς ἐπιτυχοῦσιν ἀφεῖσαν λαμβάνειν αὐτά.
ἐπειδὴ δὲ ἡ ἡμέρα ἣν ὁ ἀπατεὼν Ἰουδαῖος ἐσήμανεν, ἧκεν, ἡγεῖτο μὲν αὐτός· οἱ δὲ ἠ-
κολούθουν δὲ οἱ σύμπαντες, ἅμα γυναιξὶ καὶ τῇ νηπιώδει ἡλικίᾳ· ἀγαγὼν
αὐτοὺς ἐπί τι ἀκρωτήριον ἐπὶ τῆς θαλάσσης ἐκνεῦον, ῥίπτειν ἑαυτοὺς κατ' αὐτῆς
ἐκέλευε· τοῦτο οὖν ἐποίουν οἱ πρότεροι τῷ κρημνῷ προσπελάσαντες, καὶ εὐθὺ
ἔθνησκον· τοῦτο μὲν τοῖς κρημνοῖς περιρρηγνύμενοι· τοῦτο δὲ καὶ εἰς τὸ ὕδωρ
ἀποπνιγόμενοι· καὶ πλείους ἂν διεφθάρησαν, εἰ μὴ θεοῦ προνοίᾳ, παρέ-
τυχον ἄνδρες Χριστιανοὶ ἁλιεῖς τε καὶ ἔμποροι· οἳ τοὺς μὲν ἀποπνιγομένους ἀνέλ-
κοντες ἔσωζον· τότε τῆς ἀνοίας αἴσθησιν ἐν τῷ κακῷ πάσχειν λαμβάνοντας·
τοὺς δὲ ἄλλους ἀνεῖργον ῥίπτειν ἑαυτούς, μηνύοντες τὴν ἀπώλειαν τῶν προ-
τέρων ῥιψάντων ἑαυτούς· οἱ δὲ τηνικαῦτα τὴν ἀπάτην ἐμέμφοντο μὲν τὴν ἄκρι-
τον ἑαυτῶν πίστιν· τὸν δὲ ψευδομωϋσῆν ἀνελεῖν σπεύδοντες, συλλαβεῖν δὲ
οὐκ ἠδυνήθησαν· ἀφανὴς γὰρ ἐγένετο· ὑπόνοιάν τε παρέσχε τοῖς πλείοσιν ὡς

http://digital.slub-dresden.de/ppn334880238/516